ISTITUTO DI STUDI BIZANTINI E NEOELLENICI
UNIVERSITÀ DI ROMA
CON IL CONCORSO DEL CONSIGLIO NAZIONALE DELLE RICERCHE

# ANALECTA HYMNICA GRAECA

## E CODICIBUS ERUTA ITALIAE INFERIORIS

IOSEPH SCHIRÒ
CONSILIO ET DUCTU EDITA

## II

## CANONES OCTOBRIS

ADA DEBIASI GONZATO
COLLEGIT ET INSTRUXIT

ROMA 1979

## IN SANCTUM DEMETRIUM

Synaxarium, 163-166: "Αθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Δημητρίου. Οὗτος ὁ πανένδοξος μάρτυς τοῦ Χριστοῦ Δημήτριος ἦν ἐπὶ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν βασιλέων, ἐκ τῆς Θεσσαλονικέων ὁρμώμενος πόλεως, εὐσεβὴς ὢν ἄνωθεν καὶ τῆς εἰς Χριστὸν διδάσκαλος πίστεως....

Mess. gr. 135 = N, ff. 124-130v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε.
Κλέος μέγιστον εὗρες ἀθλήσας, μάκαρ. Νικολάου.

Ἦχος α'.

ᾠδὴ α'. *Ὠδὴν ἐπινίκιον*

f. 124v ‖ Καρδίας τὰ ὄμματα
ἦρα εἰς ὕψος
πρὸς σὲ τὸν πανάγαθον,
ἐξαιτῶν σοφίας μοι
λόγον δωρήσασθαι
ἐγκωμιᾶσαι ἑορτὴν
τοῦ ἀθλοφόρου σου.

Λατρείαν προσάγοντα
θεῷ, παμμάκαρ,
δαιμόνων οἱ λάτραι σε
ἐγνωκότες τύραννοι
καταδικάζουσι

---

tit.: e theotokiis Νικολάου apparet
heirm. α' EE 11, n. 15, Andreae



θανάτου ψήφῳ χαλεπῇ,
μάρτυς Δημήτριε.

Ἐν μέσῳ ἀνέκραζες
τῶν παρανόμων,
ὦ μάρτυς Δημήτριε,
τοῖς ἀνόμοις ἄρχουσιν·
« οὐδεὶς χωρίσει με
τῆς τοῦ κυρίου μου στοργῆς·
μάτην πλανᾶσθε, ἐχθροί ».

Ὁ λόγος σου ἅλατι
διηρτυμένος,
ὁ τρόπος φιλόθεος
τῆς διδασκαλίας σου
καὶ ἡ ἀέναος
τῶν σῶν θαυμάτων δωρεὰ
πᾶσιν ἐγκέχυται.

θεοτ. Νεκρόν με εἰργάσατο
ἡ ἁμαρτία
f. 125 καὶ ‖ φυτοῦ ἀπόγευσις
παραδείσου ἔξωσεν,
ἀλλ' ἡ πανύμνητος
ἀθανασίας τὸ φυτόν,
Χριστόν, ἐβλάστησεν.

ᾠδὴ γ'. *Στερεωθήτω ἡ καρδία μου*

Στερεωθεῖσα ἡ καρδία μου
ἐν τῇ πέτρᾳ τῆς πίστεως, ἅγιε,
οὐ παρετράπη ταῖς πνοαῖς
τῶν βιαίων πνευμάτων τε,
οὐ τοῖς κύμασι τῆς πλάνης
καλυφθεῖσα ἐδείκνυτο.

---

31 φυτῷ 32 ἐξέωσεν in cd.
heirm. γ' EE 12, n. 16, Andreae

---

19-20 Rom. 8,35 29-32 Gen. 3,6. 23 36-41 cf. Matth. 7,24-25; Luc. 6,48

Μέγαν πρόμαχον Θεσσαλονίκη σε,
ἀθλοφόρε μάρτυς Δημήτριε,
τρέποντα τὰς παρατάξεις
τῶν πολεμίων ἔσχηκεν
καὶ βαρβάρων τὰς ὁρμὰς
καὶ τοῦ πυρὸς ἀναστέλλοντα.

Εἰς ἅπασαν τὴν γῆν διέδραμε
f. 125v || τῶν θαυμάτων ἡ χάρις σου, ἅγιε·
καὶ γὰρ δαιμόνων τὴν ἰσχὺν
ἀπελαύνει ἑκάστοτε,
παρειμένους ἀνορθοῖ,
λεπροὺς καθαίρει, πανθαύμαστε.

θεοτ. Ἰδοὺ αἱ πᾶσαι, ὡς προέφησας,
γενεαί σε, ἁγνή, μακαρίζουσιν
ὅτι τὸν κτίστην καὶ θεὸν
σαρκωθέντα ἐκύησας
διαμείνασα παρθένος
ὡς πρὸ τόκου πανάμωμος.

ᾠδὴ δ'. *Ἐν πνεύματι προβλέπων*

Γνησίᾳ διαθέσει
ἐπόθησας θεὸν
καὶ αὐτοῦ πειθόμενος
τοῖς νόμοις, ἀθλητά,
οὐ παρετράπης
ἀνόμων ταῖς πανουργίαις,
οὐδὲ θανάτου
f. 126 || ἀπειλὴν σὺ ἐπτοήθης·
ὅθεν μέχρι τέλους ἐνήθλησας.

heirm. δ' EE 11, n. 15, Andreae

44-47 cf. *AA. SS* Oct. IV (1861) 143-146 contra Avaros; 162-165, 166-171, contra Sclavos; 137-141 contra incendia 50-51 cf. *AA. SS* id. 119-120

52-53 Math. 10,8 54-55 Luc. 1,48



Ἱκέτης σοι προσέδραμεν
ὁ Νέστωρ, ἀθλητά,
μέλλων παρατάξασθαι
Λυαίῳ τῷ δεινῷ
καὶ ταῖς εὐχαῖς σου
τὸ θράσος τούτου καθεῖλε
καὶ τὸ βραβεῖον
τῆς ἀθλήσεως νομίμως
παρὰ τοῦ ἀθλοθέτου ἀπείληφεν.

Συντήρει ἐκ κινδύνων
σοὺς πρόσφυγας ἀεὶ
καὶ ἐκ νόσων λύτρωσαι
καὶ βλάβης τῶν ἐχθρῶν
τῶν ὁρωμένων
καὶ ἀοράτων εὐχαῖς σου,
ὡς παρρησίαν
πρὸς Χριστὸν οὖν κεκτημένος,
μάρτυς ἀθλοφόρε Δημήτριε.

Ταῖς λόγχαις τετρωμένον σου
τὸ σῶμα, ἀθλητά,
Χριστοῦ ἐξεικόνισε
τὸ πάθος τὸ σεπτὸν
καὶ ταῖς ῥοαῖς σου
τοῦ αἵματος πορφυρίδα
προσεπιχρώσας
ἐστολίσω λαμπροτάτην,
ἣν ἐνδεδυμένος ἐγγύζεις θεῷ.

f. 126v θεοτ. || Καὶ γλώσσῃ καὶ καρδίᾳ σε,
θεόνυμφε, ὑμνῶ
θεοτόκον ἄχραντον
κυρίως τε σεπτῶς·
καὶ γὰρ σωτῆρα
καὶ κύριον καὶ δεσπότην
τὸν θεὸν λόγον
ἀφράστως σωματωθέντα
ἔτεκες ἡμῖν, ἀειπάρθενε.

69-77 cf. can. XXXIV in S. Nestorem-Gesta Nestoris in dispari certamine contra illum Lyaeum in ipso synaxario fuse narrantur: 163. ll. 10-25.

*ᾠδὴ ε'. Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον*

Οἱ καταφεύγοντες τῷ τεμένει σου,
νόσοις τρυχόμενοι
καὶ συμφοραῖς
καὶ περιστάσεσι
σαῖς ἱκεσίαις
θᾶττον ἐκλυτρούμενοι,
σὲ ὕμνοις δοξάζουσιν.

Νενεκρωμένον πλημμελήμασι,
μάκαρ Δημήτριε,
ζωοπαρόχῳ
ἱκεσίᾳ σου
ἐξαναστήσας,
ἔγειρον ἐκ τάφου με
δεινῆς ἀπογνώσεως.

f. 127 || Εὗρες καμάτων σου τὴν ἀντίδοσιν,
μάρτυς Δημήτριε,
καὶ τῶν σῶν πόνων
τὴν ἀπόλαυσιν
τοῦ παραδείσου,
πάντοτε δεόμενος
ὑπὲρ τῶν τιμώντων σε.

Ὑμνεῖς τὸν κύριον, πανάοίδιμε,
ῥείθροις αἱμάτων σου
φοινισσόμενος,
μάρτυς πανθαύμαστε,
καὶ ἀνακράζων·
« δέσποτα, εἰς χεῖράς σου
τὸ πνεῦμά μου τίθημι ».

θεοτ. Ὃν ἐσωμάτωσας ἐκ λαγόνων σου,
ἄχραντε δέσποινα,

heirm. ε' EE 13, n. 16, Andreae 111 σὲ ὕμνοις ] σεμνοῖς 133 Ὃν] ὁ

131-132 Luc. 23,46



καὶ ἐκ μαζῶν σου
γάλα ἐπότισας,
ἱλεουμένη
τοῦτον τοῖς οἰκέταις σου
μὴ παύσῃ, δεόμεθα.

*ᾠδὴ ϛ'. Τὸν προφήτην Ἰωνᾶν*

Ῥητορεύων, ἀθλητά,
f. 127v πρὸ βημάτων || τῶν ἐχθρῶν,
ὡμολόγεις τὸν Χριστόν,
προαιώνιον θεόν,
γενόμενον
δι' εὐσπλαγχνίαν
προσφάτως ἄνθρωπον.

Ἔνδον ἔχων ἐν ψυχῇ
πῦρ τὸ ἄϋλον, σοφέ,
πρὸς τὸ πῦρ τῶν πειρασμῶν
ηὐτομόλησας στερρῶς
καὶ ἔκραζες·
« οὐδὲν ἰσχύσει
Χριστοῦ χωρίσαι με ».

Σῶν αἱμάτων ὀχετοῖς
καθηγίασας τὴν γῆν
καὶ λειψάνων σου ἁφῇ
πᾶσα νόσος χαλεπὴ
διώκεται
καὶ δραπετεύεται
δαιμόνων φάλαγξ ἀεί.

θεοτ. Λαὸς ἅπας τῶν πιστῶν
σὲ προστάτιν ἀσφαλῆ
καὶ μεσῖτιν πρὸς θεὸν
κεκτημένος ἐκβοᾷ,
πανύμνητε·
« παντὸς κινδύνου
σῷζε τοὺς δούλους σου ».

heirm. ϛ' EE 12, n. 15, Andreae

152-153 cf. Rom. 8,35

Κάθισμα.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ἡ μνήμη σου, ἔνδοξε,
μάρτυς Δημήτριε,
. . . . . . . . . .

f. 128 ᾠδὴ ζ'. *Τοὺς ἐν καμίνῳ παῖδάς σου, σωτήρ,*

Ἄθλων τῶν σῶν ταῖς θείαις καλλοναῖς
στολίζεται,
μάκαρ, ἐκκλησία τοῦ θεοῦ
καὶ ταῖς πνοαῖς
τῶν παραδόξων σου θαυμάτων
λαμπρῶς ὡραΐζεται,
ταῖς διανοίαις ἡμῶν
εὐωδιάζουσα.

Θεσσαλονίκη μέγα ἐπὶ σοὶ
νῦν γέγηθε
ἐναβρυνομένη εὐσεβῶς,
Δημήτριε,
ὡς πολιοῦχον καὶ προστάτην
σεπτὸν κεκτημένη σε
ῥυόμενόν τε αὐτὴν
ἐκ βλάβης πάντων ἐχθρῶν.

f. 128v ‖ Λαὸν συναθροισθέντα τῷ σῷ,
ἀοίδιμε,
οἴκῳ εὐφημῆσαί σε νῦν
ἐν τῇ φαιδρᾷ
καὶ φωτοφόρῳ σου μνήμῃ,

---

κάθ. ed. MR I,523
heirm. ζ' EE 12, n. 15, Andreae 1 heirm. Τῶν παίδων EE 178 ἐνάμ-βρυνομενη



οἴκους καὶ σκηνὰς αὐτοῖς
τὰς οὐρανίους ἐκεῖ,
μάκαρ, εὐτρέπιζε.

Ἡ γῆ πανηγυρίζει μυστικῶς,
ἀγάλλονται
καὶ οἱ ἐπουράνιοι χοροὶ
μνήμην τὴν σὴν
εὐσεβοφρόνως ἀνυμνοῦντες
καὶ Χριστὸν δοξάζοντες
τὸν στεφανώσαντα
σοῦ τὴν σεπτὴν κορυφήν.

θεοτ. Ἀνατολὴ τῆς δόξης τοῦ θεοῦ
γεγένησαι,
λάμψον μετανοίας μοι τὸ φῶς
τῷ ἐν νυκτὶ
τῆς ἁμαρτίας καθημένῳ
καὶ πρὸς τρίβον ὤθει με
τῆς σωτηρίας ⟨ἁγνή,⟩
⟨ἵνα⟩ δοξάζω σε.

ᾠδὴ η'. *Τὸν ἐν Σινᾶ τὴν βάτον*

f. 129 ‖ Σωτῆρά σε καὶ πρέσβυν
πρὸς Χριστὸν κεκτήμεθα·
μάρτυς πανθαύμαστε,
μὴ ἐλλίπῃς τοῦ πρεσβεύειν ῥυσθῆναι ἡμᾶς
δαιμόνων πονηρῶν
καὶ βλάβης ἐναντίων ἐχθρῶν,
ἵνα σε ὑμνοῦμεν
εἰς πάντας τοὺς αἰῶνας.

Αἷμα μαρτύρων βρύει
ἰαμάτων πέλαγος
τοῖς προσιοῦσι πιστῶς

---

191 εὐτρεπίζει 206 ἁγνή, ipse scripsi ut versum complerem 207 ἵνα deest in cd.
heirm. η' EE 13, n. 16, Andreae

καὶ λειψάνων ἡ κόνις ἀπελαύνει δαιμόνων
πᾶσαν προσβολὴν
δυνάμει τοῦ ἐν πᾶσιν αὐτοῖς
ἀεὶ συνεργοῦντος,
Χριστοῦ τοῦ φιλανθρώπου.

Σκέπε τὴν σὲ τιμῶσαν
πόλιν, ἀξιάγαστε,
τῶν συμβαινόντων δεινῶν,
πυρός, μαχαίρας σεισμοῦ τε καὶ λοιμοῦ
καὶ πάσης ἄλλης προσβολῆς
ἐχθρῶν ἐπερχομένων αὐτῇ,
ἀπράκτους τὰς τούτων
βουλὰς ἀποδεικνύων.

Μυρίζει σου ἡ λάρναξ
μύρον εὐωδέστατον
καθαγιάζον ἡμᾶς
f. 129v || ψυχῶν καὶ σωμάτων καὶ πᾶσαν μαλακίαν
καὶ νόσον διώκει τῶν πιστῶν
ἀεὶ προσερχομένων αὐτῇ
καὶ σὲ ἀνυμνούντων
εἰς πάντας τοὺς αἰῶνας.

τριαδ. Ὅσοι τριάδα σέβειν
πιστῶς μεμαθήκαμεν
τὴν τρισυπόστατον,
πατέρα, λόγον, πνεῦμα ἅγιον σύνθρονον,
ὑμνήσωμεν αὐτήν·
μονὰς γὰρ ἐν τριάδι ἐστὶν
ἄναρχος τῇ φύσει
καὶ ἄκτιστος οὐσίᾳ.

ᾠδὴ θ'. *Τὴν φωτοφόρον νεφέλην*

Ἄμωμον θῦμα καθάπερ
καὶ ἱερεῖον προσήχθης

heirm. θ' ΕΕ 14, n. 17, Andreae



σφαγιασθεὶς ὑπὲρ Χριστοῦ,
τοῦ ποιμένος τοῦ καλοῦ,
τοῦ διὰ σπλάγχνα οἰκτιρμῶν
f. 130 σταυρόν τε καὶ || μάστιγας
καὶ θάνατον
ὑπομείναντος, μάρτυς,
ἵνα πάντας
ἐξαρπάσῃ τῶν παθῶν.

Καμάτων σου καὶ τῶν πόνων
ἀνταμοιβὴν ἐκομίσω
παρὰ τοῦ πάντων ποιητοῦ
οὐρανῶν βασιλείαν,
ἐν ᾗ μνημόνευε ἀεὶ
τοὺς ἐπιτελοῦντάς σου
τὴν ἔνδοξον
ἑορτὴν τοῦ γενέσθαι
συμμετόχους
τῶν ἐκεῖσε ἀγαθῶν.

Αἶνον προσῆξα ὁ τάλας
ἐκ ῥυπαρῶν μου χειλέων,
θεόφρον μάρτυς τοῦ Χριστοῦ,
εὐφημῆσαί σου ἆθλα
καὶ τὰ παλαίσματα πιστῶς,
ὃν πρόσδεξαι, ἅγιε,
καὶ αἴτησαι
τῶν πταισμάτων λαβεῖν με
τὴν ἄφεσιν
καὶ δεινῶν ἀπαλλαγήν.

Ῥυσθείημεν τῶν πταισμάτων
καὶ πειρασμῶν καὶ κινδύνων
οἱ σὲ προστάτην πρὸς θεὸν
κραταιὸν κεκτημένοι,
f. 130v || Δημήτριε μάρτυς τοῦ Χριστοῦ,
καὶ νῦν δυσωποῦμέν σε
τὰ τρόπαια
βασιλεῦσι δοθῆναι

251 Joh. 10,11-14 252 cf. Col. 3,12 252-255 Hb. 12,2

σαῖς πρεσβείαις
καὶ ἡμῖν τὸν ἱλασμόν.

θεοτ. Ὑμνοῦμέν σε τὸν δι᾽ οἶκτον
ἐλέους ἐκ τῆς παρθένου
σάρκα φορέσαντα, Χριστέ,
καὶ τεχθέντα ἀφράστως
καὶ μετὰ τόκον τὴν νηδὺν
παρθένον φυλάξαντα
τὴν ἄχραντον
τῆς ἀφθόρου μητρός σου,
ἥν σοι πάντες
πρέσβυν φέρομεν βροτοί.

*26 OCT.*

*CANON* XXXIII

## IN SANCTUM DEMETRIUM

Crypt. Δ.α. XIII = Cc, ff. 68-71
Sinait. gr. 562 = Σφ, ff. 130v-131v
Sinait. gr. 563 = Σχ, ff. 46-47v

Κανὼν τοῦ ἁγίου Δημητρίου φέρων ἀκροστιχίδα·
Δημητρίου με τὸ σθένος φυλαττέτω.

Ἦχος δ'.

ᾠδὴ α'. *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*

Δοξάσας τοῖς τῆς σαρκός σου μέλεσι
τὸν ποιητὴν καὶ θεόν,
δεδοξασμένην εὗρες ἀμοιβὴν
παρ᾽ αὐτοῦ, πανσεβάσμιε,
ὅνπερ καὶ νῦν δυσώπησον
σῶσαι τοὺς πίστει ἀνυμνοῦντάς σε.

Ἡ χάρις τοῦ παναγίου πνεύματος,
ἐν σοὶ σκηνώσασα,
σημειοφόρον ἔδειξεν ἡμῖν
καὶ θερμὸν ἀντιλήπτορα
διὰ παντὸς ῥυόμενον
τοὺς σοὶ προθύμως προσανέχοντας.

---

tit. post acr. Θεοφάνους in margine notatur in Cc Σφ
heirm. α' EE 94, n. 133, Joannis 5 αὐτὸν δυσώπησον Σφ 6 ὑπὲρ τῶν πίστει εὐφημούντων σε Σφ 11 ῥυόμενος Σφ

Μετὰ τῆς ἄνω χοροστασίας, ἔνδοξε,
νῦν παριστάμενος,
μαρτυρικαῖς ἐμπρέπων καλλοναῖς,
τῷ τῶν ὅλων δεσπόζοντι
ὑπὲρ ἡμῶν δυσώπησον
λύσιν πταισμάτων ἐξαιτούμενος.

θεοτ. Ἡ μόνη προορισθεῖσα σκήνωμα
τοῦ παντοκράτορος
καὶ δι' ἡμᾶς φανέντα καθ' ἡμᾶς
ὑπὲρ λόγον κυήσασα,
τοῦτον ἡμῖν εὐήλατον
σαῖς ἱκεσίαις παρασκεύασον.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Τὴν χάριν καταπλουτῶν
τὴν τῶν θαυμάτων πρὸς θεοῦ, λύτρωσαι,
μάρτυς Χριστοῦ Δημήτριε,
τοὺς πανευλαβῶς σοι προστρέχοντας.

Ῥᾳδίως τὰ ὑπὲρ νοῦν
ἐπιτελεῖν ἀξιωθεὶς θαύματα,
μάρτυς Χριστοῦ, περίσωζε
πάσης τρικυμίας τὴν ποίμνην σου.

f. 68v || Ἰάσεών σε πηγὴν
ἡ ἱερὰ καὶ θαυμαστὴ πόλις σου
καὶ θησαυρὸν ἔμψυχον
πάσης εὐφροσύνης πεπλούτηκεν.

θεοτ. Ὁ πάντων δημιουργὸς
δημιουργεῖται δι' ἡμᾶς, πάναγνε,

13 χορείας Σφ Σχ
heirm. γ' EE 94, n. 133, Joannis 26 θεὸν Σχ

19-20 Ps. 132,(131) 5-7



σάρκα λαβὼν ἔμψυχον
ἐκ τῶν παναχράντων αἱμάτων σου.

Κάθισμα.

Ἦχος β'. *Τὴν ἄχραντον ἐκκλησίαν*

Ὡς μάρτυρα παγκόσμιον
εὐφημοῦμέν σε, ἅγιε,
τοῖς ἄθλοις τῶν ἀγώνων σου
εὐφραινόμενοι πιστῶς·
τῶν ἐχθρῶν γὰρ τὰς μάστιγας
ὑπομείνας καρτερῶς,
τὸν στέφανον τῆς χάριτος
ἀνεδύσω ἐκ θεοῦ·
ὅθεν εὐχαρίστως βοῶμέν σοι·
« ταῖς ἱκεσίαις σου
περίσωζε τοὺς δούλους σου
ἐκ περιστάσεως
τοὺς τιμῶντας τὴν μνήμην σου ».

Ἄλλο.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ἡ μνήμη σου, ἔνδοξε,
..........................

f. 69 ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ὑπὸ τῆς σῆς φυλαττόμενοι προστασίας
νῦν ἐκτενῶς δεόμεθα

κάθ. om. Σφ Σχ
κάθ. aliud ed. MR I, 523 et om. Σφ Σχ
heirm. δ' EE 94, n. 133, Joannis

Μετὰ τῆς ἄνω χοροστασίας, ἔνδοξε,
νῦν παριστάμενος,
μαρτυρικαῖς ἐμπρέπων καλλοναῖς,
τῷ τῶν ὅλων δεσπόζοντι
ὑπὲρ ἡμῶν δυσώπησον
λύσιν πταισμάτων ἐξαιτούμενος.

θεοτ. Ἡ μόνη προορισθεῖσα σκήνωμα
τοῦ παντοκράτορος
καὶ δι' ἡμᾶς φανέντα καθ' ἡμᾶς
ὑπὲρ λόγον κυήσασα,
τοῦτον ἡμῖν εὐήλατον
σαῖς ἱκεσίαις παρασκεύασον.

ᾠδὴ γ'. *Εὐφραίνεται ἐπὶ σοὶ*

Τὴν χάριν καταπλουτῶν
τὴν τῶν θαυμάτων πρὸς θεοῦ, λύτρωσαι,
μάρτυς Χριστοῦ Δημήτριε,
τοὺς πανευλαβῶς σοι προστρέχοντας.

Ῥᾳδίως τὰ ὑπὲρ νοῦν
ἐπιτελεῖν ἀξιωθεὶς θαύματα,
μάρτυς Χριστοῦ, περίσωζε
πάσης τρικυμίας τὴν ποίμνην σου.

f. 68v ‖ Ἰάσεών σε πηγὴν
ἡ ἱερὰ καὶ θαυμαστὴ πόλις σου
καὶ θησαυρὸν ἔμψυχον
πάσης εὐφροσύνης πεπλούτηκεν.

θεοτ. Ὁ πάντων δημιουργὸς
δημιουργεῖται δι' ἡμᾶς, πάναγνε,

13 χορείας Σφ Σχ
heirm. γ' EE 94, n. 133, Joannis 26 θεὸν Σχ

19-20 Ps. 132,(131) 5-7



σάρκα λαβὼν ἔμψυχον
ἐκ τῶν παναχράντων αἱμάτων σου.

Κάθισμα.

Ἦχος β'. *Τὴν ἄχραντον ἐκκλησίαν*

Ὡς μάρτυρα παγκόσμιον
εὐφημοῦμέν σε, ἅγιε,
τοῖς ἄθλοις τῶν ἀγώνων σου
εὐφραινόμενοι πιστῶς·
τῶν ἐχθρῶν γὰρ τὰς μάστιγας
ὑπομείνας καρτερῶς,
τὸν στέφανον τῆς χάριτος
ἀνεδύσω ἐκ θεοῦ·
ὅθεν εὐχαρίστως βοῶμέν σοι·
« ταῖς ἱκεσίαις σου
περίσωζε τοὺς δούλους σου
ἐκ περιστάσεως
τοὺς τιμῶντας τὴν μνήμην σου ».

Ἄλλο.

Ἦχος δ'. *Ταχὺ προκατάλαβε*

Ἡ μνήμη σου, ἔνδοξε,
..........................

f. 69 ᾠδὴ δ'. *Ἐπαρθέντα σε ἰδοῦσα ἡ ἐκκλησία*

Ὑπὸ τῆς σῆς φυλαττόμενοι προστασίας
νῦν ἐκτενῶς δεόμεθα

κάθ. om. Σφ Σχ
κάθ. aliud ed. MR I, 523 et om. Σφ Σχ
heirm. δ' EE 94, n. 133, Joannis

τῇ σῇ εὐσπλαγχνίᾳ
ῥῦσαι κινδυνεύοντας
καὶ σῶσον πρεσβείαις σου
τοὺς προσκαλουμένους σε, ἔνδοξε.

Μετὰ μαρτύρων ὡς μάρτυς τῷ εὐεργέτῃ
παρεστηκώς, ἱκέτευε
πάσης ἐπηρείας
ῥύσασθαι τοὺς πίστει σοι
καὶ πόθῳ προστρέχοντας,
μάκαρ ἀθλοφόρε Δημήτριε.

Εἰς οὐρανίους θαλάμους κατασκηνώσας,
τοῖς ἐπὶ γῆς ποθοῦσί σε
καὶ σοῦ δεομένοις
ῥύστης ἑτοιμότατος
καὶ φύλαξ παρίστασο,
μάρτυς ἀθλοφόρε Δημήτριε.

θεοτ. Τῆς πανυμνήτου καὶ θείας οἰκονομίας
νέα σκηνὴ καὶ τέμενος
πανίερον ὤφθης·
λόγον γὰρ ἐχώρησας
τὸν πᾶσιν ἀχώρητον
φύσει καὶ οὐσίᾳ θεότητος.

f. 69v

ᾠδὴ ε'. *Σύ, κύριέ μου, φῶς*

Οἱ πίστει πρὸς τὸ σὸν
ἐπειγόμενοι τέμενος,
Δημήτριε, νοσημάτων
καὶ παθῶν ψυχοφθόρων
συντόμως ἀπαλλάσσονται.

Σὺ οἷά περ πατὴρ
ἐλεήμων, φιλόστοργος

heirm. ε' EE 94, n. 133, Joannis 65-69 om. Cc

60 Sap. 9,8



τὴν πόλιν σου περισώζεις
χαλεπῶν ἐκ κινδύνων
καὶ νόσων, ἀξιάγαστε.

Θὴρ οἷά περ δεινὸς
ὁ λοιμὸς κατεβόσκετο
τὴν πόλιν σου, τῇ δὲ θείᾳ
προστασίᾳ σου, μάκαρ,
καὶ σκέπῃ φυγαδεύεται.

θεοτ. Ἐν πάσαις γενεαῖς
ἀληθῶς μεμακάρισαι
γεννήσασα, θεομῆτορ,
τὸν μακάριον λόγον
τὸν ὄντως πανακήρατον.

ᾠδὴ ϛ'. *Θύσω σοι*

Νομίμως
ὡς Χριστοῦ στρατιώτης ἠγώνισαι
καὶ τῷ τῆς νίκης στεφάνῳ
ἐκοσμήθης· ὅθεν καὶ περιέπεις
καὶ φυλάττεις
τοὺς πρὸς σὲ καταφεύγοντας, ἔνδοξε.

Ὁ πόθος
τοῦ δεσπότου σε, μάκαρ, κατέθελξεν,
οὗ τιτρωσκόμενος λόγχῃ
μιμητὴς ἐγένου· ὅθεν καὶ τεῖχος
σὲ καὶ πύργον
ἀσφαλῆ τοῖς πιστοῖς ἐδωρήσατο.

θεοτ. Σὲ μόνην
τῶν ἀκανθῶν ἐν μέσῳ εὑράμενος,

79 πεφυγάδευται Σφ Σχ
heirm. ϛ' EE 94, n. 133, Joannis

97-98 Cant. 2,2

ὡς καθαρώτατον κρίνον
καὶ κοιλάδων ἄνθος, ὦ θεομῆτορ,
ὁ νυμφίος
ὁ νοητὸς ἐκ σοῦ ἡμῖν προελήλυθεν.

f. 70 ‖ Κοντάκιον.

Ἦχος β'. *Τοῖς τῶν αἱμάτων σου ῥείθροις, Δημήτριε,*

..........................................

Ὁ οἶκος. *Τράνωσόν μου (τὴν γλῶτταν, Σωτήρ μου)*

Σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων

....................................

Ἄλλο.

Ἦχος δ'. *Ἐπεφάνης σήμερον*

Δημητρίου σήμερον

.......................

f. 70v ᾠδὴ ζ'. *Ἐν τῇ καμίνῳ*

Φθορὰν θανάτου
καὶ πολεμίων ὥσπερ ἔφοδον
πάλαι καὶ τὰ νῦν ἀπέλασον ἀφ' ἡμῶν
τῶν ἐν πίστει προστρεχόντων σοι
καὶ πρεσβευτὴν θεῷ
δυνατώτατον, μάρτυς, προσαγόντων σε.

---

κοντάκ. om. Σφ Σχ    κοντάκ. ed. MR I, 531    οἶκ. ed. PAS I, 651
κοντάκ. alterum ed. Viz. Vrem. 10, 473, om. Σφ Σχ
heirm. ζ' EE 94, n. 133, Joannis

---

99-100 Cant. 2,1



Ὑπὸ τὴν σκέπην
τὴν ἱεράν σου καταφεύγοντας
ῥῦσαι σαῖς πρεσβείαις, μάκαρ, ἐκ πειρασμῶν
καὶ κινδύνων καὶ κακώσεων
καὶ ψυχικῶν παθῶν
τὴν ἀχλὺν καὶ τὸν ζόφον ἀπέλασον.

θεοτ. Λελυτρωμένοι
τῇ σῇ γεννήσει σοὶ κραυγάζομεν·
« χαῖρε· διὰ σοῦ γὰρ Εὔας τῆς πρὶν ἀρᾶς
προφανῶς ἠλευθερώθημεν,
εὐλογημένη σὺ
ἐν γυναιξί, πανάμωμε δέσποινα ».

ᾠδὴ η'. *Χεῖρας ἐκπετάσας Δανιὴλ*

Ἀπόρθητον, ἔνδοξε, φρουρὰν
καὶ πύργον ἄσειστον
καὶ τεῖχος ἄρρηκτον
καὶ ὅπλον ἄτρωτον ἔχοντες
f. 71 θεοτ. ‖ σέ, μαρτύρων ἐγκαλλώπισμα,
τὴν σὴν βοήθειαν καὶ νῦν
αἰτοῦντες ψάλλομεν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

Τὴν ὄντως θεόδοτον ἰσχὺν
ὡς ἔχων, ἄριστε
μάρτυς Δημήτριε,
τὴν θεοφρούρητον πόλιν σου
ἐκ κινδύνων διαφύλαξον
καὶ πειρασμῶν πολυειδῶν
πίστει κραυγάζουσαν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

---

114 διάλυσον Σχ
heirm. η' EE 94, n. 133, Joannis    131 ἄριστα Σφ    136 σοὶ κράζουσαν Σφ

---

117-120 cf. hymnum acathistum TR 506; Luc. 1,28-42.

θεοτ. Τὴν μόνην ἐν πάσαις γενεαῖς
φανεῖσαν ἄχραντον
θεογεννήτριαν,
τὴν μετὰ γέννησιν μείνασαν
ἀδιάφθορον παρθένον ἁγνήν,
μεγαλοφώνως οἱ πιστοὶ
τιμῶντες ψάλλομεν·
« εὐλογεῖτε
πάντα τὰ ἔργα κυρίου τὸν κύριον ».

ᾠδὴ θ'. *Λίθος ἀχειρότμητος ὄρους*

Ἔχων πρὸς θεὸν παρρησίαν,
μαρτυρικῶς οἰκειωθεῖσαν,
δι' ὃν τὸ σὸν αἷμα προθύμως,
στεφανηφόρε μάρτυς, ἐξέχεας,
ὑπὲρ ἡμῶν δεήθητι
καὶ σωτηρίαν ἡμῖν αἴτησαι.

Τὴν τῶν οὐρανῶν βασιλείαν
παραλαβὼν ὡς ἀθλοφόρος,
ταύτης τοὺς ὑμνοῦντάς σε, μάκαρ,
τυχεῖν δυσώπει τὸν ταύτην πάροχον
καὶ ζωοδότην κύριον
καὶ βασιλέα τῶν δυνάμεων.

θεοτ. * Ὤφθης θεονύμφευτος κόρη
καὶ πανακήρατος παρθένος·
σὺ γὰρ παρθενίαν καὶ τόκον
εἰς ἓν συνῆψας, ἄχραντε δέσποινα,
τὸν ποιητὴν γεννήσασα
καὶ κυβερνήτην πάσης κτίσεως.

---

146-147 εὐλογοῦμεν / σέ, θεοτόκε παρθένε πανάμωμε Σφ heirm. θ' EE 94, n. 133, Joannis 160-165 θεοτ. ed. MR I, 347 164-165 τὸν ποιητὴν καὶ κύριον / πάσης τῆς κτίσεως γεννήσασα MR



## IN SANCTUM NESTOREM

Synaxarium, 167-168: Ἄθλησις τοῦ ἁγίου μάρτυρος Νέστορος. Οὗτος κομιδῇ νέος ὢν καὶ ὡραῖος, ἄρτι τὸν ἴουλον ἐπανθοῦντα φέρων καὶ γνωστὸς ὑπάρχων τῷ πανενδόξῳ μάρτυρι Δημητρίῳ διὰ τὰ ὑπ' αὐτοῦ γινόμενα θαύματα, δραμὼν ἐν ᾧ ἐφυλάττετο τόπῳ καὶ πεσὼν πρὸς τοὺς πόδας αὐτοῦ ἔφη· « Δοῦλε τοῦ θεοῦ Δημήτριε, βούλομαι τῷ Λυαίῳ μονομαχῆσαι· ἀλλ' εὖξαι ὑπὲρ ἐμοῦ τὸν Χριστὸν ὀνομάσας ». Ὁ δὲ ἅγιος, ποιήσας τὴν τοῦ Χριστοῦ σφραγίδα εἰς αὐτόν, εἶπε· « Καὶ τὸν Λυαῖον νικήσεις καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσεις ». Εἰσελθὼν οὖν ἐν τῷ μαγγάνῳ ἐν ᾧ ἐμονομάχουν, θεωροῦντος Μαξιμιανοῦ, καὶ εἰπών· « Ὁ θεὸς Δημητρίου βοήθει μοι », εἶτα συμπλακεὶς τῷ παλαμναίῳ ἐκείνῳ Λυαίῳ καὶ καιρίαν αὐτὸν βαλὼν κατὰ τῆς καρδίας, ἀνῄρηκε καὶ τῷ βασιλεῖ ψυχικὴν περιεποιήσατο σύγχυσιν. Καὶ αὐτίκα κελεύσει τοῦ τυράννου τὴν κεφαλὴν ἀπετμήθη, ἅμα δὲ τῷ αἰσθητῷ καὶ τὸν νοητὸν πολέμιον κατειργάσατο.

Paris. gr. 1580 = U, ff. 152v-154v

Ὁ κανὼν φέρων ἀκροστιχίδα τήνδε·
Τιμῶ σε πιστῶς, μάρτυς ἠγλαϊσμένε· Ἰωσήφ.

Ἦχος δ'.

ᾠδὴ α'. *Ἀνοίξω τὸ στόμα μου*

Τὴν θείαν εὐπρέπειαν
περιφανῶς στολισάμενος,
τὰ ἄνω βασίλεια
οἰκεῖν ἠξίωσαι
σὺν τοῖς μάρτυσιν
ὡς μάρτυς στεφηφόρος·
διὸ ταῖς πρεσβείαις σου
ἡμᾶς περίσωζε.

Ἰδεῖν ἐφιέμενος
τὸν ἀθλοθέτην καὶ ἄνθρωπον,

---

Acr. Dubium est an illi Hymnographo vel Thessalonicensi canon tribuendus sit heirm. α' EE 99, n. 141, Joannis

θανάτου ποτήριον,
Νέστορ, ἐξέπιες
καὶ ἀνέδραμες
πρὸς τοῦτον στεφηφόρος·
διὸ συνελθόντες σε
πίστει γεραίρομεν.

Μαρτύρων ἐν αἵματι
τελειωθείς, ἱερώτατε,
τῷ ὄντι γεγένησαι
σὺ περιδέξιος,
ἀλλὰ πρέσβευε
πιστῶς τοὺς σὲ τιμῶντας
κινδύνων καὶ θλίψεων
σώζεσθαι πάντοτε.

θεοτ. Ὡς θρόνος πυρίμορφος
τὸν βασιλέα ἐβάστασας
ἐκ σοῦ σωματούμενον,
θεοχαρίτωτε,
ὃν ἱκέτευε
τῆς ἄνω βασιλείας
μετόχους ἐργάσασθαι
τοὺς ἀνυμνοῦντάς σε.

ᾠδὴ γ'. *Τοὺς σοὺς ὑμνολόγους, θεοτόκε,*

f. 153 || Σταυροῦ τῇ δυνάμει παρετάξω
πρὸς τὰς τοῦ Λυαίου μηχανὰς
καὶ τοῦτον ἐθανάτωσας
καὶ μάρτυς ἐχρημάτισας
τοῦ σταυρωθέντος ἄριστος,
Νέστορ, μαρτύρων καλλώπισμα.

Εὐχαῖς Δημητρίου, γενναιόφρον,
Λυαῖον διέλυσας ὡς χοῦν
καὶ τὸν Χριστὸν ἐνώπιον

12 Νέστορε cd. contra metrum et grammaticam: cf. vv 38.49, 61 καθ. 6, et alibi
heirm. γ' ΕΕ 100, n. 141, Joannis

25 Dan. 7,9



τυράννων ὡμολόγησας
καὶ ὥσπερ θῦμα ἄμωμον
αὐτῷ ἀθλήσας προσήνεξαι.

Προτείχισμα ἔχει σε ἡ πόλις
ἡ σὴ σεβομένη σε ἀεί,
ἣν σῶζε ταῖς πρεσβείαις σου
ἐκ πάσης περιστάσεως,
Νέστορ, μαρτύρων καύχημα,
τὴν σὴν τελοῦσαν πανήγυριν.

θεοτ. Ἰσχύς μου καὶ ὕμνησις, παρθένε,
ὑπάρχεις καὶ σκέπη κραταιά,
ἐχθρῶν ἐπιζητούντων με
κακοποιῆσαι λύτρωσαι
καὶ τὴν ψυχήν μου φώτισον
ἐσκοτισμένην τοῖς πάθεσιν.

Κάθισμα.

Ἦχος δ'. *Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ*

Οὐ κατεπλάγης τῶν ἐχθρῶν τὴν μανίαν,
οὐκ ἐδειλίασας σαρκὸς ἀλγηδόνας,
ἀλλ' ἀπτοήτως ἔδραμες πρὸς πάλην, σοφέ,
φέρων τὸ ἀκατάπληκτον τοῦ σταυροῦ θεῖον ὅπλον·
ὅθεν τὸν ἀλάστορα παραυτὰ θανατώσας,
ἐθανατώθης, Νέστορ, καὶ ζωῆς
κατηξιώθης Χριστῷ παριστάμενος.

ᾠδὴ δ'. *Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν*

Στήσας τῆς καρδίας σου πόδας, σοφέ,
θείαν ἐπὶ πέτραν τῆς πίστεως,
οὐ παρετράπης δολεραῖς προσλαλιαῖς,
ἀλλ' ἀνδρικῶς ἐχώρησας,
Νέστορ, πρὸς τὸν βίαιον θάνατον.

heirm. δ' ΕΕ 100, n. 141, Joannis

Ταῖς εὐχαῖς ὠχύρωσαι περιφανῶς,
Νέστορ, Δημητρίου καὶ ἔδραμες
ἐν τῷ σταδίῳ καταβάλλων τῶν ἐχθρῶν
τὰς μηχανὰς ἐν χάριτι
καὶ στεφανηφόρος δεικνύμενος.

Ὢ τῆς καρτερίας σου, μάρτυς Χριστοῦ,
ὢ τῆς εὐτολμίας, ἐνστάσεως
καὶ παρρησίας δι' ἧς εἷλες τὸν ἐχθρὸν
καὶ ταῖς ἀγέλαις, ἔνδοξε,
ταῖς τῶν ἀθλοφόρων ἠρίθμησαι!

Θεοτ. Στόματι καὶ γλώσσῃ σε ὁμολογῶ
λόγου σαρκωθέντος λοχεύτριαν,
θεογεννῆτορ· ἀθλοφόρων καλλονή,
τῆς αἰωνίου ῥῦσαί με
τότε καταδίκης, πανάχραντε.

ᾠδὴ ε'. *Ἐξέστη τὰ σύμπαντα*

Μεγάλως ἠγώνισαι
αἰσχύνας τὸν ἀντίπαλον·
κλίνας γὰρ αὐχένα, ἀθλοφόρε,
f. 153v τέμνοντι || ξίφει τὴν γῆν ἡγίασας
αἵματι τιμίῳ ἀληθῶς
καὶ πρὸς τὰ οὐράνια
στεφηφόρος ἀνέδραμες.

Ἀγάλλεται σήμερον
Θεσσαλονίκη μέλπουσα
τὰς ἀνδραγαθίας σου, παμμάκαρ,
τὰς ἀριστείας καὶ τὰ παλαίσματα
καὶ ἐπιτελεῖ σου τὴν σεπτὴν
μνήμην, Νέστορ ἔνδοξε,
ἀθλητῶν ἐγκαλλώπισμα.

Ῥωσθεὶς θείᾳ χάριτι,
εἰσέδραμες τὸ στάδιον

heirm. ε' EE 100, n. 141, Joannis



καί, τὰς τοῦ Λυαίου τεχνουργίας
ἐξαφανίσας τῇ εὐανδρίᾳ σου,
λέλυσαι τοῦ σώματος κρουσθεὶς
καὶ πρὸς τὸν ποθούμενον
στεφηφόρος ἀνέδραμες.

Θεοτ. Τὴν μόνην ἀπείρανδρον,
τὴν μόνην ἀειπάρθενον,
τῶν ἁμαρτωλῶν τὴν σωτηρίαν,
τῶν ἀθλοφόρων τὸ θεῖον καύχημα
καὶ τὴν καλλονὴν τοῦ Ἰακὼβ
πάντες μακαρίσωμεν
ἱεροῖς μελῳδήμασιν.

ᾠδὴ ς'. *Τὴν θείαν ταύτην καὶ πάντιμον*

Ὑμνῶ σου, Νέστορ, τὴν ἄθλησιν,
δοξάζω τὰ γενναῖα παλαίσματα
καὶ περιπτύσσομαι
τὰ ἱερώτατα λείψανα,
ἐξ ὧν κρουνοὶ θαυμάτων
ἐπαναβλύζουσιν.

Σορὸς τὸ σὸν ἡ κατέχουσα
μακάριον καὶ ἅγιον λείψανον
πηγὴ ἰάσεων
τοῖς προσπελάζουσι δείκνυται,
Χριστοῦ σε, μάρτυς Νέστορ,
ἀεὶ δοξάσαντος.

Ἡ σὴ ὑπέρτιμος ἄθλησις,
θεόφρον, ὑπὸ πάντων δοξάζεται·
δόξα γὰρ γέγονας
τῶν ἀθλοφόρων καὶ καύχημα,
μεθ' ὧν ὑπὲρ τοῦ κόσμου,
Νέστορ, ἱκέτευε.

heirm. ς' EE 100, n. 141, Joannis

102 Ps. 46,5

θεοτ. Γαστρὶ θεὸν τὸν ἀχώρητον
ἐχώρησας βροτοὺς ἀναπλάττοντα,
θεοχαρίτωτε,
διὰ πολλὴν ἀγαθότητα·
ὃν ἐκτενῶς δυσώπει
ὑπὲρ τῶν δούλων σου.

Κοντάκιον.

Ἦχος β'. *Τοῖς τῶν αἱμάτων σου ῥείθροις*

* Τὴν πανοπλίαν τοῦ σταυροῦ ὁπλισάμενος
. . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . . .

f. 154 ‖ ᾠδὴ ζ'. *Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες*

Λαμπρυνόμενος ταῖς θείαις ἀναβάσεσιν
ὥσπερ ἀστὴρ φαεινός,
μαρτυρικαῖς καλλοναῖς
σεπταῖς κατηγλάϊσαι,
Νέστορ, κραυγάζων θερμῶς·
« ὑπερύμνητε
ὁ τῶν πατέρων κύριος
καὶ θεός, εὐλογητὸς εἶ ».

Ἀποστάζοντος, παμμάκαρ, ἀπὸ στόματος
τὸν νοητὸν γλυκασμὸν
ἐνηδυνθεὶς τὴν ψυχήν,
πικρίαν ἐξέφυγες
πολυθεΐας βοῶν·
« ὑπερύμνητε
ὁ τῶν πατέρων κύριος
καὶ θεός, εὐλογητὸς εἶ ».

---

κοντάκ. ed. TRM III, ση'
heirm. ζ' EE 100, n. 141, Joannis

---

137-138 cf. Am. 9,13



Ἱκετεύων τὸν φιλάνθρωπον, μακάριε,
μὴ διαλίπῃς ἀεὶ
σώζεσθαι πάντας ἡμᾶς
κινδύνων καὶ θλίψεων
καὶ περιστάσεων
τοὺς τιμῶντάς σε
καὶ τὴν σεπτήν σου ἄθλησιν
ἱερῶς ἐπιτελοῦντας.

θεοτ. Σαρκοφόρον ἀπεκύησας τὸν ἄσπορον
θεὸν καὶ κύριον,
ὃν ἐκδυσώπει, ἁγνή,
παθῶν ἡμᾶς ῥύσασθαι
σαρκὸς βοῶντας αὐτῷ·
« ὑπερύμνητε
ὁ τῶν πατέρων κύριος
καὶ θεός, εὐλογητὸς εἶ ».

ᾠδὴ η'. *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*

Μαρτύρων χοροῖς κατειλεγμένος,
τὰ ἄνω οἰκεῖς, Νέστορ, βασίλεια·
ἥνπερ ἐπορφύρωσας
χλαῖναν ἐξ αἱμάτων σου
ἠμφιεσμένος, ἔνδοξε,
καὶ στέφος νίκης φορῶν
καὶ μετὰ ἀγγέλων μέλπων ἀπαύστως
τὴν φρικωδεστάτην
καὶ θείαν μελῳδίαν.

Ἐτύθης ἀμνὸς καθάπερ, Νέστορ,
θυσίας εἰδωλικὰς ἀποκρουσάμενος
καὶ τοῖς τῶν αἱμάτων σου
ῥεύμασι κατήρδευσας
τὴν ἐκκλησίαν, ἔνδοξε,
θεῷ κραυγάζων πιστῶς·

---

heirm. η' EE 100, n. 141, Joannis

« τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας ».

N..............................

θεοτ. Ἐν σοὶ παρθένῳ παναγίᾳ
ὁ λόγος ἀνερμηνεύτως σεσωμάτωται·
τοῦτον οὖν ἱκέτευε
πόλιν τὴν τιμῶσάν σε
καὶ πᾶσαν πόλιν σῴζεσθαι
ἀπὸ λιμοῦ καὶ λοιμοῦ
καὶ σεισμοῦ καὶ ἐμφυλίου πολέμου
καὶ ἐπικρατείας
βαρβάρων εἰς αἰῶνας.

ᾠδὴ θ'. *Ἅπας γηγενὴς*

Ἴδες ἐν φρουρᾷ
τὸν θεῖον φρουρούμενον,
Νέστορ, Δημήτριον
καὶ ταῖς προσευχαῖς αὐτοῦ
ὡς ὅπλον θεῖον ἐπιφερόμενος,
f. 154v ‖ πρὸς τὸν Λυαῖον ἔδραμες
καὶ τὰς αὐτοῦ μηχανὰς διαλύσας,
λέλυσαι τοῦ σώματος
συνδεθεὶς τῷ Χριστῷ τελειότερον.

Ὢ τῆς τολμηρᾶς
ψυχῆς σου, μακάριε,
ὢ τῆς στερρότητος,
ὢ τῆς εὐανδρίας σου
καὶ παρρησίας καὶ γενναιότητος!
πῶς βραχυτάτου αἵματος
τὴν βασιλείαν θεοῦ ἀντηλλάξω,
Νέστορ ἀξιάγαστε,
ἀθλητῶν καλλονὴ καὶ ἀγλάϊσμα;

---

post v. 178 aliud troparium N incipiens acr. postulat heirm. θ' EE 100, n. 141, Joannis    188 Ἴδες pro εἶδες habeas acrostichidis causa



Σκέπη κραταιά,
τεῖχος καὶ προπύργιον
ἔφυς τῇ πόλει σου,
Νέστορ ἀξιάγαστε,
Θεσσαλονίκῃ καὶ θεῖον ἔρεισμα·
διὸ ταῖς ἱκεσίαις σου
ἡμᾶς περίσωζε τρικυμίας
καὶ πάσης κακώσεως,
τῶν μαρτύρων σεπτὸν ἐγκαλλώπισμα.

Ἡ πλησιφαὴς
ἐξέλαμψε μνήμη σου
ὑπὲρ τὸν ἥλιον,
πάντων καταυγάζουσα
τὰς διανοίας τῶν εὐφημούντων σε·
ἐν ᾗ πανηγυρίζοντας
πλήρωσον πάντας ἡμᾶς θυμηδίας,
Νέστορ ἀξιάγαστε,
δυσωπῶν Ἰησοῦν τὸν φιλάνθρωπον.

θεοτ. Φύσιν χοϊκὴν
ἐκ σοῦ ὁ ὑπέρθεος
ἀναλαβόμενος,
ὤφθη οἷς ἠθέλησεν
ὁμοιωθῆναι δι' ἀγαθότητα·
ὃν ἐκτενῶς ἱκέτευε,
θεοχαρίτωτε, τὸν λαόν σου
τοῦτον περισῴζεσθαι
ἀπὸ πάσης ὀργῆς καὶ στενώσεως.